ἐχυροῖς ἕρκεσιν εἴργειν ἄμαχον κῦμα θαλάσσας·
ἀπρόσοιστος γὰρ ὁ Περσᾶν στρατὸς ἀλκίφρων τε λαός.

στρ. γ΄. δολόμητιν δ᾽ ἀπάταν θεοῦ τίς ἀνὴρ θνατὸς ἀλύξει;
τίς ὁ κραιπνῷ ποδὶ πηδήματος εὐπετέος ἀνᾴσσων;

ἀντιστρ. γ΄. φιλόφρων γὰρ παρασαίνει βροτὸν εἰς ἄρκυας Ἄτα,
τόθεν οὐκ ἔστιν ὄπισθέν νιν ὑπεκδραμόντ᾽ ἀλύξαι.

στρ. δ΄. θεόθεν γὰρ κατὰ Μοῖρ᾽ ἐκράτησεν τὸ παλαιόν, ἐπέσκηψε δὲ Πέρσαις
πολέμους πυργοδαΐκτους
διέπειν ἱππιοχάρμας τε κλόνους πόλεών τ᾽ ἀναστάσεις.

ἀντιστρ. δ΄. ἔμαθον δ᾽ εὐρυπόροιο θαλάσσας πολιαινομένας πνεύματι λάβρῳ
ἐσορᾶν πόντιον ἄλσος,
πίσυνοι λεπτοδόμοις πείσμασι λεωπόροις τε μαχαναῖς.

στρ. ε΄. ταῦτά μου μελαγχίτων
φρὴν ἀμύσσεται φόβῳ,
ὀᾶ, Περσικοῦ στρατεύματος
τοῦδε μὴ μόρον πύθη-
ται κένανδρον μέγ᾽ ἄστυ Σουσίδος.

v. 80 θαλάσσησ M. v. 81 περσῶν M. Περσᾶν Blomf. — v. 83 εὐπετέοσ M. εὐπετοῦς Porsonus. — ἀνάσσων M. ἀναΐσσων Vict. ἀνᾴσσων Brunckius. — v. 84 φιλόφρων γὰρ σαίνουσα τὸ πρῶτον παράγει βροτὸν εἰς ἀρκύστατα· τόθεν οὐκ ἔστιν ὑπερ θνατὸν ἀλύξαντα φυγεῖν. M. γὰρ παρασαίνει βροτὸν Seidlerus, qui primus hos versus antistrophicos esse vidit. ἄρκυας Ἄτα Hermannus, quem non fugit, scholiastam cod. M., qui Homericum versum »ἡ δ᾽ Ἄτη σθεναρή τε καὶ ἀρτίπος, φθάνει δέ τε πᾶσαν ἐπ᾽ αἶαν« (Il.. 9, 90) attulisset, Ἄτα legisse. — ὕπερθέν νιν ἀλυσκάζειν φυγόντα Heimsoethius. ὄπισθέν νιν ὑπεκδραμόντ᾽ ἀλύξαι. Oberd. διὸ οὐκ ἔστιν ἄνθρωπον ὑπεκδραμόντα τὴν Ἄτην φυγεῖν. schol. P. cf. schol. B. ad Prom. v. 586 ὅπα πημονὰς ἀλύξω· τὰς παρεστώσας ἐμοὶ κακοδαιμονίας ἐκφεύξομαι. — v. 88 πόλεων δ᾽ M. πόλεών τ᾽ Guelferbytanus. — v. 89 θαλάσσησ πολιαινομένησ M. θαλάσσας πολαινομένας Par. A. aliique. — v. 90 ἔσ ὁρᾶν M. πνεύμασι λάβροισι περᾶν Engerus. fort. πνεύμασι λάβροις ἐσελᾶν. — v. 91 λεπτοτόνοις Meinekius. — λαοπόροισ M. λεωπόροις Heimsoethius. — μηχαναῖσ M. μαχαναῖς Blomfieldus. v. 93 ἀμύσεται M. v 95 πόλισ M. eiecto glossemate μόρον Oberd.